## 14 ΙΟΥΝΙΟΥ 2015

Κυριακὴ Β΄ Ματθαίου

Ἐλισσαιὲ Προφήτου, Μεθοδίου Κων/πόλεως

Ἦχος α΄. Ἑωθινὸν Β΄.

* * * * *

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον, Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι πρέπει σοι πᾶσα δόξα...*

Ἦχος α΄.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

### ΑΠΟΛΥΤΙΚΙΑ

Τὸ Ἀναστάσιμον. Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα· Δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ Βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

Ἀπολυτίκιον τοῦ Προφήτου.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ ἔνσαρκος Ἄγγελος, τῶν Προφητῶν ἡ κρηπίς, ὁ δεύτερος Πρόδρομος, τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτόν, βρύει ἰάματα.

Δόξα.

Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος πλ. δ΄.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, Ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Μεθόδιε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ Ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον, δέξαι τὴν τεκοῦσαν σε Θεοτόκον πρεσβεύουσαν ὑπὲρ ἡμῶν καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὸν τὸ κράτος...*

* * *

## ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α´ Στιχολογίαν

Ἀναστάσιμον. Ἦχος α´.

Τὸν τάφον σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν ἀνάστασιν. Σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Δόξα.

Σταυρῷ προσηλωθείς, ἑκουσίως Οἰκτίρμον, ἐν μνήματι τεθείς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος συνέτριψας, Δυνατὲ τῷ θανάτῳ σου. Σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ ᾅδου· σὺ συνήγειρας, τοὺς ἀπ᾽ αἰῶνος θανόντας, ὡς μόνος φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Μετὰ τὴν β´ Στιχολογίαν

Ἦχος α´. Τοῦ λίθου σφραγισθέντος.

Γυναῖκες πρὸς τὸ μνῆμα, παρεγένοντο ὄρθριαι, καὶ ἀγγελικὴν ὀπτασίαν θεασάμεναι ἔτρεμον· ὁ τάφος ἐξήστραπτε ζωήν, τὸ θαῦμα κατέπληττεν αὐτάς· διὰ τοῦτο ἀπελθοῦσαι, τοῖς Μαθηταῖς ἐκήρυττον τὴν ἔγερσιν. Τὸν ᾅδην ἐσκύλευσε Χριστός, ὡς μόνος κραταιὸς καὶ δυνατός, καὶ φθαρέντας συνήγειρε πάντας, τὸν τῆς κατακρίσεως φόβον, λύσας δυνάμει σταυροῦ.

Δόξα.

Ἐν τῷ Σταυρῷ προσηλωθείς, ἡ ζωὴ τῶν ἁπάντων, καὶ ἐν νεκροῖς λογισθείς, ὁ ἀθάνατος Κύριος, ἀνέστης τριήμερος Σωτήρ, καὶ ἤγειρας Ἀδὰμ ἐκ τῆς φθορᾶς. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα. Δόξα τοῖς σοῖς παθήμασι Χριστέ· δόξα τῇ ἀναστάσει σου· δόξα τῇ συγκαταβάσει σου, μόνε Φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον. Τὸν τάφον σου Σωτήρ.

Μαρία τὸ σεπτόν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

* * *

## ΑΝΑΣΤΑΣΙΜΑ ΕΥΛΟΓΗΤΑΡΙΑ

Ἦχος πλ. α´.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις· Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾔσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾽ ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε· Θρήνου ὁ καιρὸς πέπαυται· μὴ κλαίετε· τὴν ἀνάστασιν δὲ ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο ἀγγέλου πρὸς αὐτὰς φθεγγομένου· Τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Δόξα.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφεὶμ κράζοντες τὸ Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας· χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. (γ΄)

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι ηὐλόγηταί Σου...*

* * *

## ΥΠΑΚΟΗ, ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Ἡ Ὑπακοή. Ἦχος α΄.

Ἡ τοῦ λῃστοῦ μετάνοια, τὸν Παράδεισον ἐσύλησεν, ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Οἱ Ἀναβαθμοί. Ἦχος α΄.

Ἀντίφωνον Α΄.

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν, Κύριε σοὶ κράζω.

Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρί, πρέπει ἅμα καὶ Υἱῷ· διὰ τοῦτο ᾄσωμεν τῇ τριαδικῇ μονοκρατορίᾳ.

Ἀντίφωνον Β΄.

Εἰς τὰ ὄρη τῶν σῶν, ὑψώσας με νόμων, ἀρεταῖς ἐκλάμπρυνον, ὁ Θεός, ἵνα ὑμνῶ σε.

Δεξιᾷ σου χειρὶ λαβὼν σὺ Λόγε, φύλαξόν με, φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἡ κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρῶτον· ἰσοσθενὲς γάρ ἐστι Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι· Ὁδεύσωμεν εἰς τὰς αὐλὰς τοῦ Κυρίου· εὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαυΐδ, φόβος μέγας· ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, κριθήσονται, ἅπασαι αἱ φυλαὶ τῆς γῆς καὶ γλῶσσαι.

Δόξα. Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν· Μονὰς γάρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ᾽ οὐ προσώποις.

Προκείμενον. Ψαλμὸς ια΄ (11)

Νῦν ἀναστήσομαι, λέγει Κύριος, θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ. (δίς)

Στίχ. Τὰ λόγια Κυρίου λόγια ἁγνά, ἀργύριον πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθαρισμένον ἑπταπλασίως.

Νῦν ἀναστήσομαι, λέγει Κύριος...

* * *

## ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

ὁ διάκονος· ***Τοῦ Κυρίου δεηθῶμεν.***

Κύριε, ἐλέησον.

ὁ ἱερεύς· ***Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...***

Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Αἰνεσάτω πνοὴ… πᾶσα τὸν Κύριον.

ὁ διάκονος· ***Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.***

Κύριε, ἐλέησον. (γ´)

ὁ διάκονος· ***Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.***

ὁ ἱερεύς· ***Εἰρήνη πᾶσι.***

Καὶ τῷ Πνεύματί σου.

ὁ ἱερεύς· ***Ἐκ τοῦ κατὰ Μᾶρκον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.***

ὁ διάκονος· ***Πρόσχωμεν.***

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ ἱερεὺς ἀναγινώσκει τὸ ἐνδιάτακτον Ἑωθινὸν Εὐαγγέλιον

### Ἑωθινὸν Β´

### Ἐκ τοῦ κατὰ Μᾶρκον

(ιστ´ 1-8)

Διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν τὸν Ἰησοῦν. Καὶ λίαν πρωὶ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· Ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. Ἀλλ᾽ ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Δόξα σοι, Κύριε, δόξα σοι.

ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης·

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν ἀνάστασιν· ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

οἱ χοροὶ ψάλλουν ἀντιφωνικῶς κατὰ στίχον

Ἦχος β´.

Ἐλεῆμον, Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. Καὶ ἐλέησόν με, ὁ Θεός.

Δόξα.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ τὸ πεντηκοστάριον. Ἦχος ὁ αὐτός.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

*Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...* Κύριε, ἐλέησον. (ιβ´) *Ἐλέει καὶ οἰκτιρμοῖς...* Ἀμήν.

* * *

## ΟΙ ΚΑΝΟΝΕΣ

ὁ Ἀναστάσιμος καὶ οἱ δύω τοῦ Μηναίου

### ᾨδὴ α´.

ὁ Ἀναστάσιμος εἰς δ´

ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ

### Ἦχος α´. Ὁ Εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται· αὕτη γὰρ Ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ὁ χερσὶν ἀχράντοις ἐκ χοός, θεουργικῶς κατ᾽ ἀρχὰς διαπλάσας με, χεῖρας διεπέτασας ἐν τῷ Σταυρῷ, ἐκ γῆς ἀνακαλούμενος, τὸ φθαρέν μου σῶμα, ὃ ἐκ Παρθένου προσείληφας.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Νέκρωσιν ὑπέστη δι᾽ ἐμέ, καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν, ὁ ἐμπνεύσει θείᾳ ψυχήν μοι ἐνθείς· καὶ λύσας αἰωνίων δεσμῶν, καὶ συναναστήσας, τῇ ἀφθαρσίᾳ ἐδόξασε.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Χαῖρε ἡ τῆς χάριτος Πηγή· χαῖρε ἡ κλῖμαξ καὶ πύλη οὐράνιος· χαῖρε ἡ λυχνία καὶ στάμνος χρυσῆ, καὶ ὄρος ἀλατόμητον, ἡ τὸν Ζωοδότην, Χριστὸν τῷ κόσμῳ κυήσασα.

ὁ Κανὼν τοῦ Προφήτου,

οὗ ἡ Ἀκροστιχίς· Χαῖρε Προφῆτα τοῦ Θεοῦ πανόλβιε. (Ἄνευ τῶν Θεοτοκίων). Ἰωάννου Μοναχοῦ.

Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Στίχ. Προφήτα τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Χαίροις, ὦ Ἐλισσαῖε, ἐπιδεδειγμένος τὴν ἰσάγγελον, ἐπὶ γῆς πολιτείαν, ἐν σαρκί τε βιώσας ὡς ἄριστος.

Στίχ. Προφήτα τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀΰλόν σου τὸ ὄμμα, τῆς ψυχῆς Προφῆτα φυλαξάμενος, τῇ τοῦ Πνεύματος αἴγλῃ, προορᾶν ἠξιώθης τὰ μέλλοντα.

Στίχ. Προφήτα τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴαμα τοῖς νοσοῦσι, καὶ πλημμελημάτων καθαρτήριον, ἐκ Θεοῦ Ἐλισσαῖε, τοῖς γνησίως ὑμνοῦσι σε αἴτησαι.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἄισωμεν τῷ Κυρίῳ τῷ ἐκ τῆς Παρθένου εὐδοκήσαντι, σαρκωθῆναι ἀσπόρως, εἰς ἡμῶν σωτηρίαν καὶ λύτρωσιν.

ὁ Κανὼν τοῦ Ἱεράρχου,

οὗ ἡ Ἀκροστιχίς· Ἀρχιερῆα Θεοῖο, Μεθόδιον ᾄσματι μέλπω.

Ἦχος β΄. Δεῦτε λαοὶ ᾄσωμεν.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀφ᾽ ἁρπαγῆς, καὶ προνομῆς καὶ δουλείας με, τῆς ἁμαρτίας λύτρωσαι, καὶ πρὸς μετάνοιαν, ποδηγήσας οἰκτίρμον, προνόμευσον ἀξίως ἐν τῇ ἀγάπῃ σου.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥεῖθρον ζωῆς, ἔχων σοφὲ τὴν καρδίαν σου, τῇ Ἐκκλησίᾳ γέγονας, ὡς ποταμὸς Θεοῦ, πληρωθεὶς διδαγμάτων, καὶ ταύτης καταρδεύσας Πάτερ τὸ πρόσωπον.

Δόξα.

Χαλιναγωγῶν, σὺ τῶν παθῶν τὰ σκιρτήματα, τῆς ἐγκρατείας ἔρωτι μετεστοιχείωσας, τῆς σαρκὸς τὸ ὑλῶδες, πρὸς τὴν τῆς ἀπαθείας Πάτερ ἀκρώρειαν.

Καὶ νῦν.

Θεοτοκίον

Ἰδοὺ φησίν, ὁ Ἠσαΐας Παρθένε ἁγνή, βουλῆς μεγάλης Ἄγγελον ἐν τῇ νηδύϊ σου, συλλαβοῦσα ἀσπόρως, καὶ τέτοκας καὶ σώζῃ μετὰ τὸν τόκον ἁγνή.

## Ὠιδὴ γ΄.

ὁ Ἀναστάσιμος

Ἦχος α΄. Ὁ Εἱρμός.

Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι. Ἅγιος, ὁ ναὸς ὁ ἔμψυχος, τῆς ἀφράστου σου δόξης Φιλάνθρωπε.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Θεός μου ὑπάρχων Ἀγαθέ, πεσόντα κατῳκτείρησας, καὶ καταβῆναι πρός με ηὐδόκησας, ἀνύψωσάς με διὰ σταυρώσεως, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ τῆς δόξης Κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Στίχ. Δόξα τῇ ἁγίᾳ ἀναστάσει σου, Κύριε.

Ζωὴ ἐνυπόστατος Χριστέ, ὑπάρχων καὶ φθαρέντα με, ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος, εἰς χοῦν θανάτου καταβὰς Δέσποτα, τὸ θνητὸν διέῤῥηξας, καὶ νεκροὺς τριήμερος, ἀναστὰς ἀφθαρσίαν ἠμφίασας.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Θεὸν συλλαβοῦσα ἐν γαστρί, Παρθένε διὰ Πνεύματος, τοῦ παναγίου ἔμεινας ἄφλεκτος· ἐπεί σε βάτος τῷ νομοθέτῃ Μωσῇ, φλεγομένη ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

τοῦ Προφήτου

Ἦχος πλ. δ΄. Σὺ εἶ τὸ στερέωμα.

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥήσει θεοπνεύστῳ, σὲ χρηματισθεὶς σαφῶς ἔχρισεν, Ἐλισσαῖε, ἔνδοξε Προφήτην, Ἠλιοὺ ὁ θεσπέσιος.

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Εὗρε τὴν ἀνάπαυσιν, καὶ ἐνεσκήνωσεν ἄφθονος, χάρις ἐν σοί, Πνεύματος Ἁγίου, Ἐλισσαῖε, ἀοίδιμε.

Στίχ. Προφῆτα τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πόνοις σὲ νεώσαντα, τὴν τῆς ψυχῆς εὑρὼν αὔλακα, προφητικήν, χάριν ὁ Δεσπότης, Ἐλισσαῖε, ἐνέσπειρεν.

Θεοτοκίον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σὲ πάντες κεκτήμεθα, καταφυγὴν καὶ τεῖχος ἡμῶν, Χριστιανοί, σέ δοξολογοῦμεν, ἀσιγήτως ἀνύμφευτε.

τοῦ Ἱεράρχου

Ἦχος β΄. Στερέωσον ἡμᾶς.

Στίχ. Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θερμότητι φρενῶν καὶ ζήλῳ πίστεως, Πατέρων σὺ γέγονας κορυφαῖος, τῶν Ἑβραίων τε τὴν ἔνστασιν, ὡς ὑπάρχουσαν Ἅδου πύλην ἔθραυσας.

Δόξα.

Ὁ βίος ἱερὸς ὁ λόγος ἔνθεος, ἡ πρᾶξις τῷ λόγῳ δεδοξασμένη, ἀναβάσεις ἐν καρδίᾳ σου, ἀληθοῦς θεωρίας ἐθησαύρισε.

Καὶ νῦν.

Θεοτοκίον

Ὁ ξένος τοκετὸς ἡ ξένη πρόοδος, ἐν μήτρᾳ ξενίζεται τῆς Παρθένου, καὶ τὴν φύσιν ὀλισθήσασαν, εἰς φθοράν..

..ἐξ ἀπάτης ἀνεστήσατο.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...*

* * *

## ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κοντάκιον τοῦ Ἱεράρχου

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εὐσεβείας δόγμασι τὴν Ἐκκλησίαν, καταυγάσας ἤλασας, τὴν τῶν αἱρέσεων ἀχλύν, ἱεροφάντα Μεθόδιε, πᾶσι κηρύττων Χριστὸν εἰκονίζεσθαι.

Κοντάκιον τοῦ Προφήτου

Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Διπλῆν τὴν χάριν εἰληφὼς παρὰ τοῦ Πνεύματος, Προφήτης ὤφθης θαυμαστὸς πᾶσι τοῖς πέρασι, τοὺς ὑμνοῦντας σε λυτρούμενος ἐκ κινδύνων, καὶ δωρούμενος τὴν χάριν τῶν θαυμάτων σου, τοῖς προστρέχουσιν ἐν ταύτῃ μετὰ πίστεως, καὶ βοῶσι σοι· Χαίροις Προφῆτα θεσπέσιε.

ὁ Οἶκος

Ἥλιος καταλάμψας ὁ τῆς δικαιοσύνης, ἐν τῇ πεφωτισμένῃ ψυχῇ σου, ἀπεδίωξε πᾶσαν ἀχλὺν ἁμαρτίας ἐξ αὐτῆς, καὶ Θεοῦ ἔδειξε Προφήτην σε φαιδρότατον, ἐντεῦθεν καὶ ἡμεῖς κράζομεν οὕτως.

Χαῖρε, Θεοῦ ὁ μηδὲν προτιμήσας·<br>
χαῖρε, βοῶν κατασφάξας τὰ ζεύγη.<br>
Χαῖρε, ὁ καταλείψας τὸν βίον σου ἅπαντα· χαῖρε, ὁ πλουτήσας τὸν πλοῦτον τὸν ἄσυλον.<br>
Χαῖρε, ὅτι ἠκολούθησας τῷ καλέσαντι Θεῷ· χαῖρε, ὅτι νῦν ἀπείληφας παρ᾽ αὐτοῦ τὰς δωρεάς.<br>
Χαῖρε, ὅτι τὴν μηλωτὴν Ἠλιοὺ ἐκομίσω· χαῖρε, ὅτι ἐν τάχει διασχίζεις τὸ ὕδωρ.<br>
Χαῖρε, περῶν ἀβρόχως τὰ ὕδατα·<br>
χαῖρε, ψυχῶν πολλῶν ὁ ἐπίκουρος.<br>
Χαῖρε, μαθὼν τὴν ἀπόκρυφον γνῶσιν·<br>
χαῖρε, θανὼν καὶ ὡς ζῶν ἐποπτεύων.<br>
Χαίροις, Προφῆτα θεσπέσιε.

## Μεσῴδια Καθίσματα

τοῦ Προφήτου

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Προβλέψει θεϊκῇ, Ἠλιού σε ὁ μέγας, σοφὲ Ἐλισσαῖε, φοιτητὴν ἐπισπᾶται, Προφήτην δεικνύων σε, ἐλλαμπόμενον Πνεύματι· ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, εὐσεβοφρόνως τιμῶντες, σὺν τούτῳ σε ἔνδοξε.

Δόξα.

ἕτερον τοῦ Ἱεράρχου

Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὥσπερ μέγας ἥλιος, ταῖς τῶν δογμάτων, καὶ θαυμάτων λάμψεσι, φωταγωγεῖς διὰ παντός, τῆς οἰκουμένης τὸ πλήρωμα, οὐρανομύστα, παμμάκαρ Μεθόδιε.

Καὶ νῦν.

Θεοτοκίον

Τὰς ἀχράντους χεῖράς σου, Παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον, τοὺς πεποιθότας ἐπὶ σέ, καὶ τῷ Υἱῷ σου κραυγάζοντας· Πᾶσι παράσχου, Χριστὲ τὰ ἐλέη σου.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

* * *

## ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα.

Κοντάκιον. Ἦχος α΄. Ὅταν ἔλθῃς ὁ Θεός.

Ἐξανέστης ὡς Θεός, ἐκ τοῦ τάφου ἐν δόξῃ, καὶ κόσμον συνανέστησας, καὶ ἡ φύσις τῶν βροτῶν, ὡς Θεόν σε ἀνύμνησε, καὶ θάνατος ἠφάνισται, καὶ ὁ Ἀδὰμ χορεύει, Δέσποτα, καὶ ἡ Εὔα νῦν ἐκ τῶν δεσμῶν λυτρουμένη, χαίρει κράζουσα· Σὺ εἶ ὁ πᾶσι παρέχων, Χριστὲ τὴν ἀνάστασιν.

ὁ Οἶκος

Τὸν ἀναστάντα τριήμερον ἀνυμνήσωμεν, ὡς Θεὸν παντοδύναμον, καὶ πύλας τοῦ ᾅδου συντρίψαντα, καὶ τοὺς ἀπ᾽ αἰῶνος ἐκ τάφου ἐγείραντα, Μυροφόροις ὀφθέντα, καθὼς ηὐδόκησε, πρώταις ταύταις τό, Χαίρετε, φήσας· καὶ Ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος ζωοδότης. Ὅθεν πίστει αἱ γυναῖκες, Μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται, καὶ ᾅδης στενάζει, καὶ θάνατος ὀδύρεται, καὶ κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι· Σὺ γὰρ παρέσχες πᾶσι Χριστέ, τὴν ἀνάστασιν.

### Συναξάριον

Τῇ ΙΔ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Δικαίου Ἐλισσαίου τοῦ Προφήτου, υἱοῦ μὲν Σαφὰτ ἐκ Γαλγάλων, ἐν Πνεύματι δὲ τοῦ Μεγάλου Ἠλιοὺ τέκνον, ἐν Σεβαστουπόλει τῆς Σαμαρείας ἐν ἔτει ὀκτακοσιοστῷ καὶ τριακοστῷ καὶ ὀγδόῳ (838) πρὸ τῆς Ἐπιφανείας τοῦ Σωτῆρος Χριστοῦ κοιμηθέντος.

Στίχοι

Ἠλίαν ἵπποι, τὸν δὲ διπλοῦν Ἠλίαν,  
Εἰς οὐρανοὺς ἀνῆγον ὡς ἵπποι Νόες.  
Πότμον Ἐλισσαῖος δεκάτῃ λάχεν ἠδὲ τετάρτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μεθοδίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Ὁμολογητοῦ, τοῦ ἀναστηλώσαντος τὰς Ἱερὰς Εἰκόνας, ἐν ἔτει δὲ ὀκτακοσιοστῷ τετρακοσιοστῷ καὶ τετάρτῳ (847) κοιμηθέντος.

Στίχοι

Μεθόδιον φωστῆρα τῆς Ἐκκλησίας,  
Τὸ τῆς τελευτῆς σβεννύει στυγνὸν νέφος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Κυρίλλου, Ἐπισκόπου Γορτύνης τῆς Κρητῶν νήσου, ἐν ἔτει διακοσιοστῷ ἐννενηκοστῷ καὶ ἐννάτῳ (299) ξίφει μαρτυρήσαντος, εἰς ἡλικίαν ἐννενήκοντα καὶ τριῶν (93) ἐτῶν.

Στίχοι

Εἰ καὶ γέρων Κύριλλος ἦν ὁ Γορτύνης,  
Ἡβῶσαν εἶχε πρὸς ξίφος τὴν καρδίαν.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Νήφωνος τοῦ Ἀθωνίτου, τοῦ ἐκ Λουκόβης Ἀργυροκάστρου καταγομένου καὶ ἐν ἔτει χιλιοστῷ τετρακοσιοστῷ καὶ ἑνδεκάτῳ εἰρηνικῶς κοιμηθέντος (͵αυια΄ 1411) εἰς ἡλικίαν ἐννενήκοντα καὶ ἕξ (96) ἐτῶν.

Στίχοι

Νήφων ὁ Νήφων ἐστιν ἐκ τῶν πραγμάτων·  
Νήψει νοὸς γὰρ διέδραμε τὸν βίον.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἰουλίττης τῆς Ταβεννησίας, εἰρηνικῶς τελειωθείσης.

Στίχοι

Τὴν Ἰουλίτταν ἐξάγει τοῦ σαρκίου.  
Ὁ σὰρξ δι᾽ ἡμᾶς τοῦ Θεοῦ φανεὶς Λόγος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη, τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἰουστίνου τοῦ Σέρβου, τοὐπίκλην Πόποβιτς, τοῦ νέου ὁμολογητοῦ καὶ θεοφωτίστου διδασκάλου τῆς Ἐκκλησίας, τοῦ θαυματουργοῦ, κοιμηθέντος ἐν τῇ Ἱερᾷ Μονῇ τοῦ Ἀρχαγγέλου Τσέλιγιε Σερβίας, κατὰ τὸ ἔτος 1979.

Στίχοι

Ἰουστῖνος ὕπνωσε Σέρβος ὁ μέγας,
Θεολόγων σύνεδρος, Ἁγίων φίλος.
Θεανθρώπῳ ἥνωται ὑπνώσας λέων Ὀρθοδοξίας.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Μυστισλὰβ-Γεωργίου, ἡγεμόνος τοῦ Σμολὲνσκ καὶ Νόβγκοροντ. (+1180)

Στίχοι

Ἡγεμόνα νοῦν ἐν σεαυτῷ κρατήσας,
Ἡγεμονεύεις νῦν, Γεώργιε, καὶ ἄνω.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἐλισαίου τοῦ Σούμυ.

Στίχοι

Σχήματος χάριν λαβὼν ὁ Ἐλισαῖος,
Ὕπνωσεν ὕπνον, ὃν δίκαιοι ὑπνοῦσι.

Τῇ αὐτῇ ἡμέρᾳ, Σύναξις τελεῖται Παναγίας τῆς Κανάλας· Ἧς ἡ ἀρχέτυπος ἱερὰ «εἰκών», ἡ ἐκ τῶν ὑδάτων τῆς θαλάσσης ἀναδοθεῖσα, ἐν τῇ νήσῳ Κύθνῳ τῶν Κυκλάδων, τεθησαύρισται, ταύτης δὲ νῦν ἡ ἐξ ἀντιγράφου ἱερὰ εἰκὼν ἐν τῇ Ἐλευσῖνι τῆς Ἀττικῆς εὐλαβῶς τιμᾶται.

Στίχοι

Τῶν πολλῶν κυμάτων τοῦ βίου
Ὁ ἀκύμαντος λιμὴν τῶν πιστῶν ῥύου.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ Δευτέρᾳ τοῦ Ματθαίου, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν Ἁγιωνύμῳ Ὄρει τοῦ Ἄθωνος ἀσκήσει καὶ ἀθλήσει διαλαμψάντων Πατέρων.

Στίχ. Ὄρη παρῆλθε πάντα, τοῦ Ἄθω Ὄρος,
Εὐρωπαϊκῆς γῆς, τῇ ἁγιωνυμίᾳ·
Ἤνθησεν ἄνθη ἀνθεοτρεφὴς Ἄθως,
Ὄντως νοητά, τοὺς δὲ θείους Πατέρας·
Χορὸν θεοειδῆ τῶν ἐν Ἄθῳ Πατέρων,
Χορὸς γεραίρει τῶν Μοναστῶν τοῦ Ἄθω.
Πληθὺς Ἀθωνιάς, ἀμφὶ θόωκον στῆκε Θεοῖο.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην ἐπιτελοῦμεν πάντων τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν τῶν ἐν τῇ Ἱερᾷ Μονῇ τῆς Μεγίστης Λαύρας καὶ ἐν τοῖς ὁρίοις αὐτῆς ἐν ἀσκήσει διαλαμψάντων.

Στίχ. Λαύρα τοῦ Ἄθωνος ἀγαλλιᾶται,
Τοὺς ἐν ταύτῃ λάμψαντας ὁμοῦ τιμῶσα,
Ὁσίων, συνέλευσιν ἡγιασμένην,
Γνωστοὺς ἀνωνύμους τε κοινοῖς ἐν ὕμνοις.
Θεουδῆ ὁμάγυριν μέλπειν ὁμᾷ ἐν ἤματι θέμις.

Τῇ αὐτῇ ἡμέρᾳ, σύναξις  πάντων τῶν ἐν Παλαιστίνῃ διαλαμψάντων Ἁγίων.

Στίχ. Σιὼν μεγαλύνθητι ὁμοῦ τιμῶσα
Τοὺς ἐν Παλαιστίνῃ λάμψαντας Ἁγίους.
Χορὸν θεοειδῆ Σιὼν μήτηρ Ἐκκλησιῶν ἅμα ᾄδει.

Τῇ αὐτῇ ἡμέρᾳ, σύναξις πάντων τῶν Ἁγίων, τῶν ἐν τῇ νήσῳ Πάτμῳ διαλαμψάντων, Ἀποστόλων, Ἱερομαρτύρων, Ἱεραρχῶν καί Ὁσίων.

Στίχ. Πάτμος γεραίρει τοὺς ἐν αὐτῇ Ἁγίους
Χάριτος θείας εὐχαῖς αὐτῶν τυχοῦσα.

Τῇ αὐτῇ ἡμέρᾳ, ὡσαύτως, σύναξιν ἐπιτελοῦμεν πάντων τῶν ἐν τῇ νήσῳ Λέσβῳ διαπρεψάντων Ἁγίων· Μαρτύρων, Ἱεραρχῶν καὶ Ὁσίων, τῶν ἐξ αὐτῆς καταγομένων καὶ τῶν ἀλλαχόθεν ἐν αὐτῇ ἀγωνισθέντων καὶ τελειωθέντων.

Στίχ. Λέσβος χορεύει ὁμοῦ συνευφημοῦσα
τοὺς ἐν αὐτῇ λάμψαντας φίλους Κυρίου.
Ἤνεγκε Λέσβος ὁμήγυριν Χριστῷ θεοειδῆ ἑτάρων.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν τῇ Ἠπείρῳ διαπρεψάντων Ἁγίων, Μαρτύρων, Ἱεραρχῶν καὶ Ὁσίων.

Στίχ. Ἤπειρος γέραιρε ὁμοῦ κοινοῖς ὕμνοις,
Τοὺς ἐν σοὶ ἐκλάμψαντας κλεινοὺς Ἁγίους.
Θεουδῆ ὁμήγυριν ἤματι ἐνὶ Ἤπειρος ἄϊδει.

Τῇ αὐτῇ Κυριακῇ, μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἐν τοῖς ὁρίοις τῆς νῦν Μητροπόλεως Ἱερισσοῦ διαλαμψάντων ἁγίων.

Οὗτοι δέ εἰσι· Παῦλος, ὁ τῶν ἐθνῶν ἀπόστολος, ὁ οὐρανοβάμων, ὁ διοδεύσας τὴν Ἀπολλωνίαν (Πράξ. ιζ´1) καὶ συστησάμενος κατὰ παράδοσιν τὴν ἐκεῖσε Ἐκκλησίαν, Ἱεράρχαι· ὁ ἅγιος Μακάριος ἐπίσκοπος Ἱερισσοῦ, Εὐθύμιος Μαδύτου, ὁ παρὰ τῶν προσφύγων τῆς Νέας Μαδύτου τιμώμενος, καὶ Μᾶρκος Ἀρεθουσίων, ὁ ἱερομάρτυς, Νεομάρτυρες· Κοσμᾶς Αἰτωλός, ὁ διδάχος τοῦ Γένους καὶ ἐθναπόστολος, Σάββας Ὁσιομάρτυς, ὁ ἐκ Σταγείρων, Ἀκάκιος Ὁσιομάρτυς, ὁ ἐκ Νεοχωρίου, καὶ Ἀκυλίνα, ἡ ἐκ Ζαγκλιβερίου, καὶ Ὅσιοι ἕξ· Εὐθύμιος Περιστερῶν, Μητροφάνης ὁ Μικραγιαννανίτης, ὁ ἐν Στρατονίκῃ κηρύξας, Αὐξέντιος ὁ ἐν Κατερλίῳ ἀσκήσας καὶ ἐν Σταυρῷ νῦν τιμώμενος, Γερβάσιος ὁ ἐκ Γοματίου, ὁ κατὰ Χριστὸν σαλός, ἐν Ἁγίῳ Ὄρει ἀσκήσας, ὁ Καρακαλληνός, Γεώργιος ὁ πάππος ἐπίσης ἐκ Γοματίου, ὁ θαυματουργός, καὶ Χάϊδω ἡ ὁμολογήτρια ἐκ Στανοῦ ὁρμωμένη.

Στίχ. Δῆμον πεντεκαίδεκα ἁγίων δεῖ μέλπειν
Χρεωστικῶς Ἱερισσοῦ Ἐκκλησία.

Τῇ αὐτῇ ἡμέρᾳ, σύναξις τῶν ἐν τῇ κατὰ τὴν Βέρροιαν Ἱερᾷ Σκήτῃ τοῦ Τιμίου Προδρόμου Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν τῶν ἀσκήσει διαλαμψάντων, ἤτοι· Γρηγορίου τοῦ Παλαμᾶ καὶ Θεωνᾶ Ἀρχιεπισκόπων Θεσσαλονίκης, Ἀντωνίου τοῦ νέου, Θεοφάνους τοῦ ἐν Ναούσῃ, Ἀθανασίου τοῦ Μετεωρίτου, Νικάνορος τοῦ θαυματουργοῦ, Διονυσίου τοῦ ἐν Ὀλύμπῳ καὶ Κοσμᾶ τοῦ Αἰτωλοῦ.

Στίχ. Ὀκτάριθμον σύστημα θείων Πατέρων
Γεραίρει ἡ Βέρροια κοινοῖς ἐν ὕμνοις.
Θείαν ὁμάγυριν ὅμα χρῆ λιγαίνειν ἤμματι ἐνί.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην ποιούμεθα τῶν δώδεκα Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν καὶ Ὁμολογητῶν, τῶν διαλαμψάντων ἐν ταῖς Ἱεραῖς Μοναῖς Βαθέως Ῥύακος, Μηδικίου, Πελεκητῆς καὶ Χηνολάκκου, ταῖς οὔσαις ἐν τῇ περιοίκῳ τῆς ἐν Βιθυνίᾳ Τριγλίας.

ὧν τὰ ὀνόματα· Βασίλειος, κτίτωρ Βαθέως Ῥύακος, Ἰγνάτιος δὲ, Λουκᾶς, Μᾶρκος καὶ Στέφανος ἡγούμενοι αὐτῆς· Μηδικίου· Νικήτας καὶ Νικηφόρος, Πελεκητῆς· Θεοστήρικτος, Μακάριος, Ἱλαρίων, Χηνολάκκου· Στέφανος, ὁ καὶ κτίτωρ αὐτῆς, καὶ Μεθόδιος μοναχὸς αὐτῆς, ὁ μετέπειτα Πατριάρχης Κωνσταντινουπόλεως.

Στίχ. Τοὺς δωδεκαρίθμους Ὁσίους Πατέρας,
Ὁμοῦ τιμᾶν δίκαιον ἐν μιᾷ μνήμῃ.
Δωδεκάριθμον ὁμήγυριν θεουδῆ ὁμᾷ κυδαίνω.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμην ἐπιτελοῦμεν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀπολλοδώρου Ἐπισκόπου Φαιακίας, ἑνὸς τῶν τριακοσίων δέκα καὶ ὀκτὼ θεοφόρων Πατέρων τῆς Α´ Οἰκουμενικῆς Συνόδου.

Στίχ. Υἱὸν Θεοῦ τὸν Λόγον κηρύξας κάτω,
Νῦν Αὐτῷ συνῆς, Ἀπολλόδωρε, ἄνω.
Χριστόπνους ποιμὴν Φαιακίας Θεῷ σήμερον ἀπέπνει.

Τῇ αὐτῇ ἡμέρᾳ, σύναξις ἐν Σερβίοις Κοζάνης τῆς ἁγίας Θεοδώρας, βασιλίσσης Ἄρτης.

Στίχ. Κἂν σου, Βασιλίς, κρύπτει τὸ σῶμα τάφος,
Χριστὸς πᾶσι φαίνει σε θαυματουργίαις.

Τῇ αὐτῇ ἡμέρᾳ, σύναξις τῆς ἐν Καρυαῖς τῆς Χίου εἰκόνος τῆς Παναγίας τῆς καλουμένης Ἀρβανιτίσσης.

Στίχ. Νῆσος Ἁγιότοκος καὶ Μυροβόλος πάνυ,
Τιμᾷ συγκαταβαίνουσαν μητρικῶς Θεοτόκον.

Ταῖς αὐτῶν πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

## ΚΑΤΑΒΑΣΙΑΙ

τῆς Θεοτόκου

### Ὠιδὴ α΄. Ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος καὶ λόγον ἐρεύξομαι τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

### Ὠιδὴ γ΄.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας πνευματικόν, στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου ...

...στεφάνων δόξης ἀξίωσον.

### Ὠιδὴ δ΄.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν τῆς ἐκ τῆς Παρθένου σαρκώσεως σοῦ τοῦ ὑψίστου ὁ προφήτης Ἀββακοὺμ κατανοῶν ἐκραύγαζε· Δόξα τῇ δυνάμει σου, Κύριε.

### Ὠιδὴ ε΄.

Ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γάρ, ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε σωτηρίαν βραβεύοντα.

### Ὠιδὴ ς΄.

Τὴν θείαν ταύτην καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ θεόφρονες τῆς Θεομήτορος δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες.

### Ὠιδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν ἀνδρείως πατήσαντες χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεός, εὐλογητὸς εἶ.

### Ὠιδὴ η΄.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος τὴν οἰκουμένην ἅπασαν ἀγείρει ψάλλουσαν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ὁ διάκονος· *Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.*

## Η ΩιΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ

Ἦχος δ΄.

Στίχ. α΄. Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

Στίχ. β΄. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. γ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. δ΄. Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ε.΄ Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Στίχ. ϛ΄. Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.
Τὴν τιμιωτέραν τῶν Χερουβίμ...

Καταβασία. Ὠιδὴ θ΄.

Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δὲ ἀΰλων νόων φύσις, γεραίρουσα τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις, παμμακάριστε Θεοτόκε ἁγνή, ἀειπάρθενε.

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

*Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...*

* * *

## ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἦχος β΄.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ,
… ὅτι ἅγιός ἐστιν.

Ἀναστάσιμον Ἐξαποστειλάριον Β΄.

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι, ἔχαιρον· εἶδον γὰρ νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ· καὶ αὐτὸς ταύταις ἔφη· Ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ τοῖς Μαθηταῖς· Ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας· ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἐξ ἀροτῆρος ὤφθης, προφήτης ὦ Ἐλισσαῖε· καὶ Ἠλιοὺ δεδεγμένος, τὴν μηλωτὴν καὶ τὸ αὐτοῦ, πνεῦμα δισσῶς ἐπεσπάσω, καὶ σὺν αὐτῷ σε τιμῶμεν.

ἕτερον τοῦ Ἱεράρχου

Ἦχος β΄. Τῶν μαθητῶν ὁρώντων σε.

Ὡς ἥλιος ἀνίσχων ἐκ τῆς ἑῴας, ἔδυς εἰς τὰ ἑσπέρια τῇ ἀθλήσει· νῦν δὲ κατεφώτισας τὸν κόσμον, σοῖς πάνσοφε διδάγμασι· Πάτερ Μεθόδιε θεοφόρε, διὸ ἡμῶν ὑπερεύχου.

Θεοτοκίον

Ἡμεῖς ἐν σοὶ καυχώμεθα Θεοτόκε, καὶ εἰς Θεὸν σὲ ἔχομεν προστασίαν· ἔκτεινον τὴν χεῖρά σου τὴν ἄμαχον, καὶ θραῦσον τοὺς ἐχθροὺς ἡμῶν· σοῖς ἐξαπόστειλον δούλοις, βοήθειαν ἐξ Ἁγίου.

* * *

## ΑΙΝΟΙ

Ἦχος α΄.

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Στιχηρὰ Ἀναστάσιμα. Ἦχος α´.

Στίχ. α´. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.
Ὑμνοῦμέν σου Χριστέ, τὸ σωτήριον πάθος, καὶ δοξάζομέν σου τὴν ἀνάστασιν.

Στίχ. β´. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.
Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος παντοδύναμος.

Στίχ. γ´. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Ὁ τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ ἀναστάσει σου Χριστέ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Στίχ. δ´. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ· ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί· ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν· ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθών, ἵνα σώσῃς τὸν κόσμον· Κύριε δόξα σοι.

Στιχηρὰ Ἀνατολικὰ δ´

Στίχ. ε´. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
Ὅτε προσηλώθης τῷ ξύλῳ τοῦ σταυροῦ, τότε ἐνεκρώθη τὸ κράτος του ἐχθροῦ, ἡ κτίσις ἐσαλεύθη τῷ φόβῳ σου, καὶ ὁ ᾅδης ἐσκυλεύθη τῷ κράτει σου, τοὺς νεκρούς ἐκ τῶν τάφων ἀνέστησας, καὶ τῷ Ληστῇ τὸν Παράδεισον ἤνοιξας, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Στίχ. ϛ´. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.
Ὀδυρόμεναι μετὰ σπουδῆς, τὸ μνῆμά σου κατέλαβον αἱ τίμιαι Γυναῖκες, εὑροῦσαι δὲ τὸν τάφον ἀνεῳγμένον, καὶ μαθοῦσαι παρὰ τοῦ Ἀγγέλου, τὸ καινὸν καὶ παράδοξον θαῦμα, ἀπήγγειλαν τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. ζ´. Ἀνάστηθι, Κύριε, ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.
Τὴν τῶν παθῶν θείαν μωλώπωσίν, σου προσκυνοῦμεν, Χριστὲ ὁ Θεός, καὶ τὴν ἐν τῇ Σιὼν δεσποτικὴν ἱερουργίαν, τὴν ἐν τέλει τῶν αἰώνων θεοφανῶς γεγενημένην, τοὺς γὰρ ἐν σκότει καθεύδοντας, ὁ ἥλιος ἐφώτισας τῆς δικαιοσύνης, πρὸς ἀνέσπερον χειραγωγῶν ἔλλαμψιν, Κύριε δόξα σοι.

Στίχ. η´. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
Τὸ φιλοτάραχον γένος τῶν Ἰουδαίων ἐνωτίσασθε· ποῦ εἰσιν οἱ Πιλάτῳ προσελθόντες; εἴπωσιν οἱ φυλάσσοντες στρατιῶται, ποῦ εἰσιν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ μετετέθη ὁ ταφείς; ποῦ ἐπράθη ὁ ἄπρατος; πῶς ἐσυλήθη ὁ θησαυρός; τί συκοφαντεῖτε τὴν ἔγερσιν τοῦ σταυρωθέντος, παράνομοι Ἰουδαῖοι; Ἀνέστη ὁ ἐν νεκροῖς ἐλεύθερος, καὶ παρέχει τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα. Ἑωθινὸν Β´. Ἦχος β´.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ γυναιξί, καὶ διαπορουμέναις, πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ, ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς· Ἠγέρθη γάρ φησιν, Ἰησοῦς ὁ Κύριος· διὸ κηρύξατε τοῖς κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν, καὶ ὄψεσθε αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς ζωοδότην καὶ Κύριον.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

* * *

## Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δόξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ· Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ ἅγιον Πνεῦμα.

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ᾽ ἑκάστην ἡμέραν εὐλογήσω σε καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. (γ΄)

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με· ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (ἐκ γ΄)

Δόξα. Καὶ νῦν.

Ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

*Καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ·*

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς.

Καὶ τὸ ἀναστάσιμον τροπάριον. Ἦχος δ΄.

Σήμερον σωτηρία τῷ κόσμῳ γέγονεν· ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον τὸ νῖκος ἔδωκεν ἡμῖν καὶ τὸ μέγα ἔλεος.

* * * * *

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ἀντίφωνα τῶν Κυριακῶν

Ἀντίφωνον Α΄. Ἦχος β΄. (Ψαλμὸς ρβ΄)

Στίχ. α΄. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

Στίχ. β΄. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. γ΄. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Στίχ. δ΄. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα. Καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου...

Ἀντίφωνον Β΄. Ἦχος β΄. (Ψαλμὸς ρμε΄)

Στίχ. α΄. Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον· αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι, Ἀλληλούϊα.

Στίχ. β΄. Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Στίχ. γ΄. Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Στίχ. δ΄. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ...

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

Ἀντίφωνον Γ΄. Ἦχος α΄. (Ψαλμὸς ριζ΄)

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα· Δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ Βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

Στίχ. β΄. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον.

Στίχ. γ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον.

* * *

## ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

### Εἰσοδικόν. Ἦχος β΄.

(ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν)

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ..ψάλλοντάς σοι, Ἀλληλούϊα.

* * *

### Τὸ ἀναστάσιμον ἀπολυτίκιον.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελῆται συλλείτουργον)

### Τὸ Ἀναστάσιμον Ἀπολυτίκιον. Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων σοι Ζωοδότα· Δόξα τῇ ἀναστάσει σου Χριστέ, δόξα τῇ Βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε.

### Ἀπολυτίκιον τοῦ Προφήτου.
### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁ ἔνσαρκος Ἄγγελος, τῶν Προφητῶν ἡ κρηπίς, ὁ δεύτερος Πρόδρομος, τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει· διὸ καὶ τοῖς τιμῶσιν αὐτόν, βρύει ἰάματα.

### Ἀπολυτίκιον τοῦ Ἱεράρχου. Ἦχος πλ. δ΄.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστήρ, Ἀρχιερέων θεόπνευστον ἐγκαλλώπισμα, Μεθόδιε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Εἶτα τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ.

### Κοντάκιον τῆς Θεοτόκου. Ἦχος β΄.

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελῆται συλλείτουργον)

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον ὡς ἀγαθὴ εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· Τάχυνον εἰς πρεσβείαν καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

* * *

## ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

* * *

## ΑΠΟΣΤΟΛΟΣ

Κυριακῆς τῆς Β΄ ἑβδομάδος

Προκείμενον. Ἦχος α΄. (Ψαλμὸς λβ΄)

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς.

Στίχ. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

(γ´ 19-26)

Ἀδελφοί, δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι· οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ. Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. Οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ᾽ οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων -ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ.

Ἀλληλούϊα. (γ´)

Ἦχος α´. (Ψαλμὸς ιζ´)
Στίχ. Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσεις ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ᾽ ἐμέ.
Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως αὐτοῦ καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ.

* * *

## ΕΥΑΓΓΕΛΙΟΝ

Κυριακῆς Β´ Ματθαίου

Ἐκ τοῦ κατὰ Ματθαῖον

(δ´ 18-23)

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδεν δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς. Καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Δόξα σοι, Κύριε, δόξα σοι.

* * *

**Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἰ. Χρυσοστόμου**

* * *

Εἰς τό· Ἐξαιρέτως…

Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

* * *

Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.

Μετὰ τὴν μετάδοσιν. Ἦχος β´.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Εἰς τό· *Πάντοτε, νῦν καὶ ἀεί…*

Ἦχος β´.

Ἀμήν, Ἀμήν, Ἀμήν. Πληρωθήτω τὸ στόμα ἡμῶν αἰνέσεώς σου, Κύριε, ὅπως ὑμνήσωμεν τὴν δόξαν σου, ὅτι ἠξίωσας ἡμᾶς μετασχεῖν τῶν ἁγίων καὶ φρικτῶν σου μυστηρίων· τήρησον ἡμᾶς ἐν τῷ σῷ ἁγιασμῷ, ὅλην τὴν ἡμέραν μελετᾶν τὴν δικαιοσύνην σου. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Μετὰ τὴν ὀπισθάμβωνον εὐχήν. Ἦχος β´.
Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ´)

Ἀπόλυσις· Ὁ ἀναστὰς ἐκ νεκρῶν...

Δι᾿ εὐχῶν... Ἀμήν.

* * * * *

**Ἡ Ἀκολουθία αὐτὴ καταρτίσθηκε**

**καὶ διανέμεται δωρεὰν**

**ἀπὸ τὸν ὀρθόδοξο Ἱστότοπο**

**http://akolouthies.wordpress.com**

**Προσφέρεται γιὰ ἰδιωτικὴ χρῆσι.**

**Δὲν ἐπιτρέπεται ἡ ἐμπόρευσί της.**

---

Ἀπολυτίκια τῶν συνεορταζομένων Ἁγίων

Ἕτερον Ἀπολυτίκιον τοῦ Προφήτου.
Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς ὑποφήτην ἀληθῆ τοῦ Σωτῆρος, καὶ τῶν ἐν νόμῳ παιδευτὴν καὶ φωστῆρα, τοῖς πόῤῥω σε ἐδήλωσεν ὁ τόκος σου σοφέ· σὺ γὰρ κληρωσάμενος, τοῦ Θεσβίτου τὴν χάριν, θαύμασι διέπρεψας, καὶ δυνάμεσι πλείσταις· Καὶ νῦν ἀπαύστως φύλαττε ἡμᾶς, ὦ Ἐλισσαῖε προφῆτα θεσπέσιε.

Ἀπολυτίκιον Ἁγίου Μεθοδίου.
Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Τῷ πυρὶ τῆς ἀγάπης ὁλοκαυτούμενος, ἐμπρησμὸν τῆς ἀπάτης ὅλως ἀπέσβεσας, Πατριαρχῶν ἡ κορωνὶς πάτερ Μεθόδιε, ὁμολογίας ἡ κρηπίς, ἐκδυσωπῶ σε ἐκτενῶς, παθῶν μου τῶν ἀνιάτων, τὴν κάμινον ἀναψύξαι, θείαις ψεκάσι τῆς πρεσβείας σου.

Ἕτερον Ἀπολυτίκιον τοῦ Ἱεράρχου.
Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Εὐσεβείας τὴν μέθοδον προβαλλόμενος, αἱρετικῶν διαλύεις τὰς ἐπινοίας στεῤῥῶς, Ὀρθοδόξων ἡ κρηπὶς πάτερ Μεθόδιε· τὴν γὰρ εἰκόνα τοῦ Χριστοῦ, ἀνεστήλωσας τιμᾷν, ὡς θεῖος ἱεροφάντωρ· καὶ νῦν ἀΰλως δοξάζῃ, καὶ ἱκετεύεις ὑπὲρ πάντων ἡμῶν.

Ἀπολυτίκιον τοῦ Ἁγ.Κυρίλλου Κρήτης.
Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Τὸν φωστῆρα τῆς Κρήτης καὶ Γορτύνης τὸν πρόεδρον καὶ θερμὸν προστάτην τοῦ κόσμου Κύριλλον εὐφημήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς τὴν μνήμην ἐκτελοῦντες τὴν αὐτοῦ ἵνα λάβωμεν πλουσίως τὴν ἀμοιβὴν παρὰ Θεοῦ κραυγάζοντες· δόξα τῷ ἀναδείξαντι σε ἱερόν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ δωρησαμένῳ σε ἡμῖν πρέσβυν ἀκοίμητον.

Ἀπολυτίκιον τοῦ Ὁσίου Νήφωνος.
Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Τῆς Ἠπείρου τὸν γόνον τὸν τοῦ Ἄθωνος ὄρπηκα, καὶ τῶν ἱερέων τὴν δόξαν, τὸν θεόληπτον Νήφωνα, τιμήσωμεν ἐν ὕμνοις ἱεροῖς· ἀσκήσει γὰρ ὁσίων ἀρετῶν, οὐρανίων χαρισμάτων ἀξιωθείς,

φαιδρύνει τοὺς κραυγάζοντας· δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ στεφανώσαντι, δόξα τῷ ἐκπληροῦντι διὰ σοῦ, πάντων τὰ πρόσφορα.

### Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσίου.

### Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Ταπεινώσει καὶ νήφει τὸν διαλάμψαντα Ἁγιωνύμῳ ἐν Ὄρει, Ἀργυροκάστρου βλαστὸν καὶ τῆς Σκήτεως Ἁγίας Ἄννης σέμνωμα, μέλψωμεν Νήφωνα, πιστοί, βιαστὴν ὡς τῆς σαρκὸς καὶ πνεύματος ὑψιπέτην στρουθὸν αὐτοῦ τὰς πρεσβείας πρὸς τὸν Θεάνθρωπον αἰτούμενοι.

### Ἀπολυτίκιον τοῦ Ὁσ.Ἰουστίνου.

### Ἦχος πλ. δ´. Ὀρθοδοξίας ὁδηγέ.

Ὀρθοδοξίας τὸ γλυκύ, καὶ νεκταρῶδες, Πάτερ ἀμάλγαμα, μετοχετεύσας τῶν πιστῶν, ἐν ταῖς καρδίαις ὥσπερ θησαύρισμα, τῷ βίῳ καὶ ταῖς ἀρεταῖς, βιβλίον ζῶν τοῦ Πνεύματος δέδειξαι, Ἰουστῖνε θεόσοφε· ἱκέτευε διὰ παντός, ἐλ-Λογοθῆναι τοὺς ὑμνοῦντάς σε.

### Ἕτερον Ἀπολυτίκιον τοῦ Ὁσ.Ἰουστίνου.

### Ἦχος α´. Τὸν τάφον σου Σωτήρ.

Τὰ πάντα δοὺς Χριστῷ, τὸν Χριστὸν οὐδενὶ δέ, καὶ τοῦτο πρακτικῶς, Ἰουστῖνε παρέθου, ὡς κλῆρον καὶ θησαύρισμα, τοῖς σοῖς τέκνοις μακάριε· ὅθεν γέγονας, τοῦ Παραδείσου οἰκήτωρ, ἔνθα πρέσβευε τῷ Φιλανθρώπῳ Δεσπότῃ, μετὰ τῆς Θεομήτορος.

### Ἀπολυτίκιον Παναγίας Κανάλας.

### Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Παναγίας Κανάλας, τῇ εἰκόνι προσπέσωμεν, πάντες οἱ θαλάσσῃ τοῦ βίου, καθ᾽ ἑκάστην ποντούμενοι· παρέχει γὰρ εἰρήνην ὑπὲρ νοῦν, ὡς τέξασα Θεὸν ἀληθινόν, τὸν ἀβρόχως ἐκ θαλάσσης τῆς Ἐρυθρᾶς, τὸν Ἰσραὴλ περάσαντα. Χαίροις τῶν χαρισμάτων ποταμέ· χαίροις θαυμάτων πέλαγος· Χαίροις τῆς Ἐλευσῖνος ἡ τιμή, τῆς Κύθνου περιήχημα.

### Ἀπολυτίκιον τῶν Ἁγιορειτῶν Πατέρων.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Τοὺς τοῦ Ἄθω πατέρας καὶ ἀγγέλους ἐν σώματι, ὁμολογητὰς καὶ ὁσίους, ἱεράρχας καὶ μάρτυρας, τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, μιμούμενοι αὐτῶν τὰς ἀρετάς· ἡ τοῦ ὄρους πληθύς, πᾶσα τῶν μοναστῶν, κραυγάζοντες ὁμοφώνως· δόξᾳ τῷ στεφανώσαντι ὑμᾶς· δόξᾳ τῷ ἁγιάσαντι· δόξᾳ τῷ ἐν κινδύνοις ἡμῶν, προστάτας δείξαντι.

### Τῶν Πατέρων τῆς Μεγίστης Λαύρας.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Τῶν Ὁσίων Πατέρων τὴν χορείαν ὑμνήσωμεν, τοὺς ἀσκητικῶν δι᾽ ἀγώνων, ὡς ἀστέρας ἐκλάμψαντας, ἐν Λαύρᾳ τῇ Μεγίστῃ νοητῶς, καὶ πάσῃ τῇ αὐτῆς περιοχῇ, καὶ πυρσεύοντας τοῦ Ἄθω τοὺς Μοναστάς, συμφώνως ἀνακράζοντας· δόξα τῷ ἐνισχύσαντι ἡμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι᾽ ὑμῶν, ἡμῖν χάριν καὶ ἔλεος.

### Ἀπολυτίκιον τῶν Ἁγίων τῆς Παλαιστίνης.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Πολυάριθμον δῆμον τῶν Ἁγίων τιμήσωμεν, τοὺς ἐν Παλαιστίνῃ ἐν χρόνοις, διαφόροις ἐκλάμψαντας, Προφήτας, Ἀποστόλους, Ἀθλητάς, Ὁσίους, Ἱεράρχας, Ἀσκητάς, τοὺς γνωστοὺς καὶ ἀνωνύμους καὶ πρὸς αὐτούς, ἀπὸ ψυχῆς βοήσωμεν· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ φωταυγοῦντι δι᾽ ὑμῶν, πᾶσαν τὴν ὑφήλιον.

### Ἕτερον
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἁγίων ὑμνήσωμεν ἡγιασμένην πληθύν, ἁγίως ἐκλάμψαντας, ἐν διαφόροις καιροῖς, ποικίλοις ἐν σκάμμασι, πάσῃ τῇ Παλαιστίνῃ, καὶ λαμπρῶς δοξασθέντας, ἤδη δὲ συναφθέντας, τοῖς χοροῖς τῶν Ἀγγέλων, μεθ᾽ ὧν καὶ ἱκετεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἀπολυτίκιον τῶν Ἁγίων τῆς Πάτμου.
(Κυρίλλου Κογεράκη)
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τῶν ἐν Πάτμῳ Ἁγίων τὸν μακάριον ὅμιλον, τὰ τῆς ἀρετῆς ἐκμαγεῖα καὶ φωστῆρας τῆς πίστεως, τιμήσωμεν συμφώνως ἀδελφοί, ὡς σκέποντας ἡμᾶς ἐν πειρασμοῖς, καὶ παρέχοντας τὰς κρείττονας δωρεάς, τοῖς εὐλαβῶς κραυγάζουσι· Δόξα τῷ ἀναδείξαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ χορηγοῦντι δι᾽ ἡμῶν χάριν σωτήριον.

### Ἕτερον.
(Κυρίλλου Κογεράκη)
### Ἦχος γ΄. Θείας πίστεως.

Ἄνθη τίμια τῆς εὐσεβείας, κρίνα εὔοσμα τῆς Ἐκκλησίας, οἱ ἐν Πάτμῳ ἀνεδείχθητε Ἅγιοι, ἀγωνισθέντες ἐν γῇ ὑπὲρ ἄνθρωπον, καὶ τοῦ Βελίαρ τὰς πάγας συντρίψαντες. Ὅθεν ἔνδοξοι Χριστῷ τῷ Θεῷ πρεσβεύετε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

### Ἀπολυτίκιον τῶν ἐν Λέσβῳ Ἁγίων.
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τοὺς ἐκ Λέσβου ὡς ἄστρα νοητὰ ἀνατείλαντας, καὶ ἀπὸ χωρῶν διαφόρων ἐν αὐτῇ διαπρέψαντας. Ὁσίους τε καὶ Μάρτυρας ὁμοῦ, καὶ θείους ἱεράρχας τοῦ Χριστοῦ, ἐν μιᾷ ἀνευφημήσωμεν ἑορτῇ οἱ Λέσβιοι κραυγάζοντες· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ δι᾽ ὑμῶν περιφανῶς, τὴν νῆσον ἡμῶν κλεΐσαντι.

### Ἕτερον.
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος γ΄. Θείας πίστεως.

Θεῖον σύστημα κλεινῶν Ὁσίων, καὶ ὁμήγυριν Ἀρχιερέων, καὶ Μαρτύρων ἀκαθαίρετον φάλαγγα, ἡ νῆσος Λέσβος γεραίρει χορεύουσα, ὡς ἐν αὐτῇ τὸν Χριστὸν μεγαλύναντας, καὶ πρεσβεύοντας δωρήσασθαι ταῖς ψυχαῖς ἡμῶν εἰρήνην ἀληθῆ καὶ μέγα ἔλεος.

### Ἀπολυτίκιον τῶν Ἁγίων τῆς Ἠπείρου.
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς θεράποντας θείους καὶ θεόληπτον σύστημα, τοὺς ἐν Ἠπείρῳ Ἁγίους ὁμοφώνως ὑμνήσωμεν, ὁμοῦ σὺν Ἱεράρχας, Ἀθλητάς, καὶ σύλλογον Ὁσίων θαυμαστόν· δι αὐτῶν γὰρ πᾶσαν χάριν παρὰ Θεοῦ λαμβάνομεν κραυγάζοντες· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν πᾶσιν ἰάματα.

### Ἕτερον.
(Γερασίμου Μικραγιαννανίτου)
### Ἦχος γ΄. Θείας πίστεως.

Θεῖον σύστημα κλεινῶν Ἁγίων, ἔργοις κρείττοσι καὶ θείοις ἄθλοις, κατελάμπρυναν τὴν Ἤπειρον ἅπασαν, οἱ πολλαχῶς ἐν αὐτῇ διαπρέψαντες, σὺν τοῖς Ὁσίοις καλλίνικοι Μάρτυρες. Ὅθεν ἅπαντες τὴν τούτων τιμῶντες ἕνωσιν, δοξάζομεν Χριστὸν τὸν Ὑπεράγαθον.

## Τῶν Ἁγίων τῆς Μητροπόλεως Ἱερισσοῦ.

(ὑπὸ Χαραλάμπη Μπούσια)

### Ἦχος πλ. α´. Τὸν συνάναρχον Λόγον.

Σκίρτα νῦν καὶ ἀγάλλου, ἡ περιώνυμος Ἱερισσοῦ Ἐκκλησία, περιφανῶν ἀθλητῶν καὶ ὁσίων ἁγιόλεκτον ὁμήγυριν ἔχουσα ὡς πανσθενουργοὺς παραστάτας καὶ ταχεῖς ἀκέστορας ἐν κινδύνοις, Κυρίῳ δὲ πέμψον αἶνον τῷ σοι αὐτοὺς φρουροὺς δωρήσαντι.

## Ἕτερον.

(ὑπὸ Χαραλάμπη Μπούσια)

### Ἦχος α´. Τοὺς τρεῖς μεγίστους φωστῆρας.

Τὸ ἁγιόλεκτον σέλας τοῦ νοητοῦ στερεώματος τῆς Ἱερισσοῦ Ἐκκλησίας, ἐγκωμιάσωμεν κράζοντες τῶν ἀποστόλων ἀκροθίνιον, Παῦλε, Ἀκυλίνα, Χάϊδω, Περιστερῶν Εὐθύμιε, Σάββα ἔνδοξε, Μητρόφανές τε Μᾶρκε τῶν Ἀρεθουσίων ἀγλάϊσμα σὺν Εὐθυμίῳ Μαδύτου, Αὐξεντίῳ, Ἀκακίῳ τε ἅμα Μακαρίῳ καὶ πολιῷ Γεωργίῳ, θεῖε Γερβάσιε, Χριστῷ τῷ Ζωοδότῃ ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσατε.

## Ἀπολυτίκιον Ἁγίων τῆς Σκήτης Βερροίας.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Τοὺς ἐν Σκήτῃ Βεῤῥοίας δι᾽ ἀσκήσεως λάμψαντας, ὀκταρίθμους Πατέρας ὁμοφώνως τιμήσωμεν ὡς Ἄγγελοι γὰρ ὤφθησαν ἐν γῇ, καὶ δόξης ἀληθοῦς ἐν οὐρανοῖς, ἠξιώθησαν αἰτούμενοι ἱλασμόν, τοῖς πίστει ἀνακράζουσι· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν, πᾶσιν ἰάματα.

## Ἀπολυτίκιον τῶν Ἁγίων τῆς Τριγλίας.

(Γερασίμου Μικραγιαννανίτου)

### Ἦχος α´. Τῆς ἐρήμου πολίτης.

Δωδεκάριθμος δῆμος ἱερὸς ἀνεδείχθητε, οἱ ἐν τῇ Τριγλίᾳ Πατέρες ἀρετῶν τελειότητι, καὶ δι᾽ ὁμολογίας ἱερᾶς, δοξάσαντες Χριστὸν τὸν Ποιητήν· διὰ τοῦτο ὁμοφώνως πάντας ὑμᾶς, τιμῶμεν ἀνακράζοντες· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν, πᾶσιν ἰάματα.

## Ἀπολυτίκιον Ἁγίου Ἀπολλοδώρου Φαιακίας.

(Ἀθανασίου Σιμωνοπετρίτου)

### Ἦχος α´. Τῆς Συνόδου τῆς πρώτης.

Τῆς Συνόδου τῆς πρώτης ἀνεδείχθης συμμέτοχος, τὸν Υἱὸν καὶ Λόγον κηρύξας τῷ Πατρὶ Ὁμοούσιον, πρὸ πάντων τῶν αἰώνων ποιητὴν ἀΰλων καὶ ἐνύλων οὐσιῶν· ὅθεν χαίρουσα Φαιάκων ἐπισκοπὴ σὲ μεγαλύνει κράζουσα· δόξα τῷ σὲ φωτίσαντι Χριστῷ, δόξα τῷ ἁγιάσαντι, δόξα τῷ δεδωκότι σε ἡμῖν ποιμένα Ἀπολλόδωρε.

## Ἀπολυτίκιον Παναγίας Ἀρβανιτίσσης ἐν Χίῳ.

(Ἰσιδώρας Ἁγιο-Ἱεροθεϊτίσσης)

### Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἡ ἱερὰ καὶ Ἁγιόνησος Χίος, τῇ παρουσίᾳ σου Παρθένε καυχᾶται, καὶ συγκαλεῖ πρὸς αἶνεσιν, λατρείας ἡμᾶς· σὺ γὰρ ἐποπτάνεσαι, ἐν αὐτῇ Παναγία, κάλλει ὡραιότητος, διαλάμπουσα πάνυ· ἀρβανιτίσσης φέρουσα στολήν, ὥσπερ νεᾶνις, σεμνὴ λιγυρόκορμος.

## Ἕτερον τῆς Παναγίας Ἀρβανιτίσσης.

(ὑπὸ Χαραλάμπη Μπούσια)

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Καρυῶν νήσου Χίου σεπτὸν καλλώπισμα, Θεογεννῆτορ Παρθένε, Χριστιανῶν ἀρωγέ, πατριώτισσα Παρθένε, Ἀρβανίτισσα, ἡ προστατεύουσα πιστοὺς ἐξ ἐχθροῦ ἐπιβουλῆς καὶ ῥύουσα ἐκ κινδύνων τοὺς σοὶ προσφεύγοντας πίστει, σκέπε καὶ φρούρει τοὺς τιμῶντάς σε.

* * * * *